Pet 269/
Δ 963

# ἈΚΟΛΟΥΘΙΑ

ΤΟΥ ὉΣΙΟΥ ΚΑῚ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟῪ ἩΜΩΝ.

# ΣΤΥΛΙΑΝΟΥ.

Νῦν δεύτερον τύποις ἐκδοθεῖσα δι' ἀδείας τοῦ Παναγιωτάτου καὶ Οἰκουμενικοῦ Πατριάρχου κυρίου κυρίου

## ΓΡΗΓΟΡΙΟΥ.

Καὶ δι' ἐξόδων καὶ ἐπιμελείας τοῦ Πανοσιωτάτου ἐν Ἱερομονάχοις κυρίου Θεοδοσίου Προηγουμένου τῆς κατὰ τὸ Ἁγιώνυμον Ὄρος Ἱερᾶς καὶ Σεβασμίας μονῆς τοῦ Σταυρονικήτα, τοῦ καὶ Ἐπιτρόπου τῆς κοινότητος χρηματίσαντος.

πρὸς χρῆσιν καὶ ὠφέλειαν τῶν Ὀρθοδόξων.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Ἐν Κωνσταντινουπόλει. αωιθ΄.

# ΜΗΝΙ ΝΟΕΜΒΡΙΟΥ ΚϚʹ.

Τῦ Ὁσίε Πατρὸς ἡμῶν Στυλιανῦ τῦ Παφλαγόνος. Ἑσπέρας ϛιχολογῦμεν τὸ, Μακάριος ἀνήρ. τὸ ά. Ἀντίφωνον. εἰς δὲ τὸ, Κύριε ἐκέκραξα, ἱςῶμεν Στίχȣς ϛʹ. ἢ ψάλλομεν τὰ ϛιχηρὰ προσόμοια, Ποίημα Γεωργίε τῦ ἐκ Τραπεζῦντος.

Ἦχος ά. Τῶν ȣ̓ρανίων ταγμάτων.

Τῆς σωτηρίε καὶ θείας Φωνῆς κατήκοος, Στυλιανὲ τρισμάκαρ, γεγονὼς ἀπὸ βρέφȣς, κατέλιπες ἐμφρόνως, πάντα φθαρτὰ, καὶ Θεῷ ἠκολέθησας· ὅθεν ἐδέξω τῶν πόνων τὴν ἀμοιβὴν, σὺν ἀγγέλοις εὐφραινόμενος.

Τὴν κοσμικὴν ἀπεσείσω μάκαρ εὐπάθειαν, Στυλιανὲ θεόφρων, καὶ σαυτὸν ἐν σπηλαίῳ, κατέκλεισας γενναίως, ὅθεν τροφὴν, ȣ̓ρανόθεν δεχόμενος, κατηξιώθης γενέσθαι θαυματȣργὸς, ὀλετὴρ παθῶν θεόσοφε.

Τὴν τῶν μητέρων ἀνίαν εἰς ἀγαλλίασιν, μετασκευάζεις πάτερ, εὐτεκνίαν παρέχων, τοῖς βρέφεσι δὲ ζῆν τε, ἢ εὐεκτεῖν, ὡς ζωῆς τελῶν ἔμπλεως, Στυλιανὲ τῆς πανσόφȣ ἢ ἀληθȣ̃ς, τῆς ζώσης πάντα ἄνθρωπον.

Ἕτερα προσόμοια, Ποίημα Μητροφάνȣς Γρηγορᾶ τῦ ἐκ Δωδώνης.
Ἦχος ὁ αὐτός. Πανεύφημοι μάρτυρες ὑμᾶς.

Ὡς ἄλλον Θεός σε Σαμȣὴλ, ἐκ κοιλίας ὅσιε, Στυλιανὲ καθηγίασε, κατοικητήριον, πνεύματος ἁγίε, προειδώς σε μέλλοντα, γενέσθαι ἢ τὸ χεῖρον τῷ κρείττονι, καθυποτάζοντα· ἐκ παντοίων ȣ̓͂ν κακῶν ἡμᾶς, ἢ θανάτȣ, ῥῦσαι τȣ̀ς τιμῶντας σε.

Στῦλος μοναςῶν Στυλιανὲ, ὄντως ἐχρημάτισας, ὑπερβαλὼν ταῖς ἀσκήσεσι, σκληραγωγίαις τε, ἐπιπόνοις πάντας, ὅθεν ἢ ȣ̓ράνιον, τροφὴν ὑπὸ Ἀγγέλȣ θεόπνευσε, ἐδέξω χάριν τε, ȣ̓ρανόθεν τὰ ἀνίατα, τῦ ἰᾶσθαι, πάθη ἀξιάγαςε.

Ἡνίκα κυέσας δι' αὐτῆς, τῶν βρεφῶν τῆς θνήξεως, ἀτέκνȣς ἄωρος θάνατος, ἐποίει ὅσιε, τότε αἱ μητέρες, σῦ τὸ θεῖον ὄνομα, θερμῶς ἐπικαλȣ́μεναι τάχιςα,

μετα-

μετεσκευάζοντο, ταῖς σεπταῖς σου πρὸς τὸν Κύριον, μεσιτείαις, αὖθις πρὸς τὸ γόνιμον.

Δόξα Ἦχος πλ. δ΄.

Τὸ Παφλαγόνος κλέος, ϗ τῆς ἐρήμου τὸ θρέμμα, τὸν Στυλιανὸν τὸν θεῖον, ἐγκωμίων ἄνθεσι καταστέψωμεν· οὗτος γὰρ ἁγιασθεὶς ἐκ μητρικῆς νηδύος, ἐν ἀρεταῖς διέπρεψε, προειδότος τοῦ Θεοῦ αὐτὸν ϗ προορίσαντος, ϗ πολλῶν θαυμάτων αὐτουργὸς ἀνεδείχθη, ἰατήρ τε νοσημάτων ποικίλων, πρὸς τεκνογονίαν τὰς ἀτεκνούσας μετασκευάζων, ὀνομαστὶ αὐτὸν ἐπικαλουμένας, ϗ εἰκόνας χρωματουργούσας, τὴν αὐτοῦ ἐμφέρειαν φερούσας, οὗ ταῖς εὐχαῖς Χριστὲ ὁ Θεὸς ἡμῶν, πικροτάτου θανάτου ϗ ἀώρου, τοὺς ἡμῶν παῖδας ῥῦσαι, ϗ ἀξίωσον πάντας, τῆς οὐρανίου βασιλείας σου.

Καὶ νῦν, Ὁ βασιλεὺς τῶν οὐρανῶν.

Εἴσοδος τὸ, Φῶς ἱλαρὸν, τὸ Προκείμενον τῆς ἡμέρας, ϗ τὰ Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, ϗ οὐ μὴ ἅψηται αὐτῶν βάσανος· ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, ϗ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα, οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτοὺς, ϗ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς, ϗ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτοὺς, ϗ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, ϗ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη, ϗ κρατήσουσι λαῶν, ϗ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας· οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, ϗ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ, ὅτι χάρις ϗ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, ϗ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, ϗ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, ϗ ἡ φροντὶς αὐτῶν παρὰ ὑψίστῳ· διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, ϗ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου, ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτοὺς, ϗ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν· λήψονται πανοπλίαν τὸν ζῆλον αὐτοῦ, ϗ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν, ἐνδύσεται θώρακα δικαιοσύνης, καὶ περιθήσεται κόρυθα

κρίσιν



κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν, συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας, πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, ϗ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν ἐπὶ σκοπὸν ἁλοῦνται, ϗ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, ϗ ὡς λαῖλαψ ἐκλικμήσει αὐτοὺς, ϗ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, ϗ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν· ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε, μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους ϗ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν, ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, ϗ ἡ δυναστεία παρὰ ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται· γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὔτε ἀριθμῷ ἐτῶν μεμέτρηται, πολιὰ δὲ ἐστὶ φρόνησις ἀνθρώπων, ϗ ἡλικία γήρως, βίος ἀκηλίδωτος· εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη, ϗ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη, ἡρπάγη μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλὰ, ϗ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον, τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας· οἱ δὲ λαοὶ ἰδόντες ϗ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις ϗ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, ϗ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν, ἰδιόμελα Ἦχος πλ. α΄.

Ὡς ἄλλον Σαμουὴλ ὁ Θεός σε ἡγίασεν, ἐκ νηδύος αὐτῆς Στυλιανὲ, ὁ προειδώς σου τὴν πρόθεσιν, ἣν ἔργοις καὶ ἀγῶσιν ἀσκητικοῖς διαβεβαιούμενος, σπήλαιον οἰκῶν, ἔζης ὑπὲρ ἄνθρωπον, ἔνθα σοι ϗ τροφὴ ὑφ' ἁγίου χορηγεῖται Ἀγγέλου, ϗ θαυμάτων τὰ παράδοξα οὐρανόθεν σοι καταπέμπεται· ὅθεν ϗ μητράσιν ἀτεκνούσαις, τὴν τεκνογονίαν χαρίζῃ, ϗ ποικίλοις νοσήμασι, τὴν ἴασιν παρέχεις τοῖς νοσοῦσι· διὸ ϗ αὐτοῖς ἡμῖν, τοῖς ἐκτελοῦσι τὴν πάνσεπτον μνήμην σου, παράσχου τὰ πρὸς σωτηρίαν, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Ἦχ. πλ. β΄.

Ὁ ἀσκήσει ϗ μακρῷ πόνῳ, τὸν μοναστὴν βίον ὑποδὺς, Στυλιανὲ μακάριε, ὁ ἀνιάτων

των

των ἰατὴρ παθῶν γενόμενος, μὴ ἐλλείπῃς ἡμᾶς κινδυνεύοντας, ὡς παῤῥησίαν πρὸς Θεὸν κεκτημένος, ἀλλ' ἴασαι ἡμῶν τὰ πάθη, τῶν ψυχῶν ὁμοῦ καὶ τῶν σωμάτων, σοῦ γὰρ μεσιτεύοντος Θεῷ, ὦ, νῦν παρίστασαι, πάσης ἀνάγκης καὶ θλίψεως, καὶ συμφορῶν ἀπροσδοκήτων, οἱ σὲ προστάτην ἔχοντες ῥυόμεθα, Πάτερ ἁγιώτατε.

Ἦχος, πλ. β'

Τίς μὴ θαυμάσῃ σου ὅσιε, τὴν κατὰ Θεὸν πολιτείαν; ὅλως γὰρ ἠλόγησας τοῦ σώματος, ὡς φθείρεσθαι μέλλοντος, καὶ ὡς ἐν ἅρματι, ἀρετῶν τῇ τετρακτύϊ ἐποχούμενος, ἀνέδραμες, εἰς ὕψος, ὥσπερ τις ἄλλος Ἠλίας. ἐν δ' ἐντεύξεσιν ἀγρύπνοις τὰ πάθη πρότερον κοιμήσας, θεαρέστως ὕπνωσας, τὸν πᾶσι τοῖς δικαίοις ὀφειλόμενον ὕπνον, ὅθεν ἄγρυπνόν σε φύλακα πλουτοῦμεν, οἱ τὴν σεβάσμιόν σου μνήμην, πνευματικῶς πανηγυρίζοντες. Δόξα, Ἦχος, πλ. δ'.

Τὸ τῆς ἡγιασμένης ψυχῆς σου περιβόλαιον, τὸ καρτερικώτατον καὶ ἀπαθὲς, καὶ πανάσπιλον, ὡς θεῖον θησαύρισμα, ἡ Παφλαγόνων πόλις φέρουσα, ψυχικῶν ἀλγημάτων, καὶ σωματικῶν τὴν ῥῶσιν ἐξαιτεῖται. ἀλλὰ καὶ πᾶς ὁ πρεσβευτήν σε, μετὰ πόθου προβαλλόμενος τῇ παναιτίῳ Τριάδι, ᾗ νῦν παριστάμενος, ἱκετεύων μὴ παύσῃ, ὑπὲρ τῶν πίστει ἐκτελούντων, τὴν ἐτήσιόν σου μνήμην, Στυλιανὲ μακάριε. Θεοτοκίον.

Τὰ οὐράνια ὑμνεῖ σε κεχαριτωμένη μῆτερ ἀνύμφευτε, καὶ ἡμεῖς δοξολογοῦμεν τὴν ἀνεξιχνίαστόν σου γέννησιν· Θεοτόκε πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ αἱ συνήθεις εὐχαί. Εἰς τὸν στίχον, στιχηρὰ προσόμοια. Ἦχ. ά.

Τῶν οὐρανίων ταγμάτων.

Ἐκ μητρικῆς τῆς νηδύος, ὤφθης δοχεῖον Θεοῦ, ταῖς ἀρεταῖς δὲ λάμψας, τοῦ Χριστοῦ τῇ δυνάμει, πανάγιε τρισμάκαρ, παρέχεις ἡμῖν, ἰαμάτων χαρίσματα, τοῖς τὴν φωσφόρον σου μνήμην Στυλιανὲ, μετὰ πόθου ἑορτάζουσι. Στίχος.

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ταῖς τῆς Τριάδος ἀκτῖσι περιλαμπόμενος, τῇ θείᾳ ἐνεργείᾳ, τὰς ἰάσεις παρέχεις, τοῖς πίστει σε αἰτοῦσι, Στυλιανὲ, καὶ τελοῦσι τὴν μνήμην σου, θεομακάριστε πάτερ θαυματουργὲ, θλιβομένων παραμύθιον. Στίχος.

Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.

Τοῦ ἀμπελῶνος ἐργάτης, διὰ τῆς πράξεως, τῶν ἐντολῶν ἐδείχθης, τοῦ Χριστοῦ θεοφόρε. διὸ τῆς βασιλείας, τῆς ἄνω λαβὼν, μυστικῶς τὸ δηνάριον, ἀδιαλείπτως πρεσβεύεις Στυλιανὲ, ὑπὲρ τῶν μακαριζόντων σε.

Δόξα.



Δόξα Ἦχος β'.

Ὁ ἐκ νηδύος μητρικῆς, καθαγιάσας σε Θεὸς, σκεῦος εὔχρηστον τοῦ ἁγίου Πνεύματος ἀπειργάσατο, τῷ στεῤῥεώματι τῆς Ἐκκλησίας, ἀειλαμπῆ ἀστέρα ἀναδείξας σε, τὰς τῶν θαυμάτων πάντοτε βολὰς ἐκπέμποντα, Στυλιανὲ μακάριε· ὥσπερ γὰρ φοῖνιξ ἐν λειμῶνι ταῖς αὐλαῖς τοῦ Κυρίου σὺ ἤνθησας, λιβάσιν ἀρδευόμενος δακρύων, καὶ καρποὺς ἐνθέους πολυφόρους τῶν ἀρετῶν σου τῷ Κυρίῳ προσφέρων, ἀλλὰ μὴ ἐλλείπῃς μνημονεύειν ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ, ἐπικαλουμένων σε μακάριε.

Καὶ νῦν, Τὴν πᾶσαν ἐλπίδα μου.

Ἀπολυτίκιον Ἦχ. ά. Τῆς ἐρήμου πολίτης.

Καὶ Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου.

Εἰς τὸν Ὄρθρον, εἰς τὴν ά. στιχολογίαν, Καθίσματα.

Ἦχ. δ'. Ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ.

Ὡς καθαρὸς τῷ καθαρῷ προσπελάσας, διὰ στιτόνου προσευχῆς καὶ ἁγνείας, Στυλιανὲ ἡγίασας τῷ πνεύματι, ὅθεν σὺν Ἀγγέλοις νῦν, αὐλιζόμενος μέλπεις, ὕμνον τὸν τρισάγιον, τῷ τῶν ὅλων Δεσπότῃ, πρὸς ὃν δυσώπει ὅσιε ἀεὶ, τοῦ ἐλεῆσαι τοὺς πόθῳ ὑμνοῦντάς σε. Δίς. Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοὶ καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς, Δέσποινα βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων, μὴ ἀποστρέψῃς σοὺς δούλους κενοὺς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

Εἰς τὴν β'. στιχολογίαν Καθίσματα, Ἦχ. πλ. δ'.

Τὴν σοφίαν καὶ λόγον.

Τῶν δακρύων τοῖς ὄμβροις σου τὴν ψυχὴν, καταρδεύσας πλουσίως Στυλιανὲ, τὰ πάθη ἐνέκρωσας, καὶ σαρκὸς ἔξω ἔζησας, καὶ βροτὸς οὐράνιος, σαφῶς ἐχρημάτισας, διανύσας βίον τὸν λίαν ἐπίπονον, ὅθεν ἀνεδείχθης, ἐγκαλλώπισμα θεῖον, πατέρων τὸ καύχημα, μοναζόντων τὸ στήριγμα, διὸ πίστει βοῶμέν σοι, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου. Δίς.

Θεο-

Θεοτοκίον.

Χαριστήριον αἶνον χρεωστικῶς, ὡς ἡ χήρα ἐκείνη δύο λεπτά, προσφέρω σοι δέσποινα, ὑπὲρ πασῶν τῶν χαρίτων σου· σὺ γὰρ ὤφθης σκέπη, ὁμοῦ καὶ βοήθεια, πειρασμῶν καὶ θλίψεων, ἀεί με ἐξαίρουσα, ὅθεν ὡς ἐκ μέσης, φλογιζούσης καμίνου, ῥυσθεὶς τῶν θλιβόντων με, ἐκ καρδίας κραυγάζω σοι, Θεοτόκε βοήθει μοι, πρεσβεύουσα τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δοθῆναί μοι· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀνάξιος δοῦλός σου.

Μετὰ τὸν Πολυέλεον, Καθίσματα, Ἦχ. γ'. Θείας πίστεως.

Σκεῦος τίμιον τοῦ παναγίου, πάτερ Πνεύματος τῇ ὑψηλῇ σου, πολιτείᾳ ἐγένου θεόπνευστε, ἐν ἀπαθείᾳ φαιδρύνας τὸν βίον σου, καὶ δεομένοις σκορπίσας τὸν πλοῦτόν σου, ὅθεν ὅσιε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Θεία γέγονας σκηνὴ τοῦ λόγου, μόνη πάναγνε Παρθενομῆτορ, τῇ καθαρότητι Ἀγγέλους ὑπεράρασα· τὸν ὑπὲρ πάντας ἐμὲ οὖν γενόμενον, ῥερυπωμένον σαρκὸς πλημμελήμασιν, ἀποκάθαρον πρεσβειῶν σου τοῖς ἐνθέοις νάμασι, παρέχουσα σεμνὴ τὸ μέγα ἔλεος.

Οἱ ἀναβαθμοί, τὸ ά. ἀντίφωνον τοῦ δ'. Ἤχου, Προκείμενον,
Ἦχ. δ'. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.
Στίχος, Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ;
Πᾶσα πνοή. Εὐαγγέλιον ζήτει εἰς τὸν ὄρθρον τοῦ μεγάλου Ἀντωνίου
τῇ ιζ'. τοῦ Ἰαννουαρίου. Εἶτα τὸν Ν'. Δόξ. Ταῖς τοῦ ὁσίου.
Καὶ νῦν, Ταῖς τῆς Θεοτόκου. Στίχος, Ἐλέησόν με ὁ Θεός.
Καὶ τὸ ἰδιόμελον, Ἦχ. β'.

Τὰς ἱεράς σου κινήσεις τοῦ νοός, τῶν θείων νόμων τοῦ Πνεύματος, πρὸς τήρησιν ποιούμενος, Ἄγγελος ἐφάνης ἐπίγειος, καὶ ταῖς σελασφόροις σου ἀρεταῖς, τοὺς πιστῶς σοι προσιόντας, εὐσεβοφρόνως κατελάμπρυνας, τοὺς κάμνοντας ποικίλων ἀπαλλάττων νοσημάτων, καὶ τῆς πικρᾶς τοῦ σκότους ἁμαρτίας· ἀπάλλαξον οὖν καὶ ἡμᾶς τοὺς τιμῶντάς σε ἐκ πόθου, πάσης ἀνάγκης καὶ θλίψεως, καὶ ψυχικῶν ἀῤῥωστημάτων, Στυλιανὲ μακάριε.

Σῶσον ὁ Θεὸς τὸν λαόν σου. Τὸ Κύριε ἐλέησον, ιβ'.

Ἐλέει



Ἐλέει καὶ οἰκτιρμοῖς. Καὶ οἱ κανόνες, τῆς Θεοτόκου πρῶτον εἰς ς'. τοῦ ἁγίου Στυλιανοῦ, εἰς δ'. καὶ τοῦ ἁγίου Ἀλυπίου εἰς δ'. Τοῦ δὲ ἁγίου Νίκωνος ὁ κανὼν ψάλλεται ἐν τοῖς ἀποδείπνοις, Ὁ κανὼν τῆς Θεοτόκου, Ὠδὴ, ά. Ἦχ. πλ. δ'. ὁ Εἱρμός, Ὑγρὰν διοδεύσας. Πολλοῖς συνεχόμενος. Ὁ κανὼν τοῦ ἁγίου Στυλιανοῦ, οὗ ἡ ἀκροστιχίς.
Τοῦ Προδρόμου σὲ τὸν μιμητὴν αἰνέσω. Ἰησοῦς.
Ποίημα Μητροφάνους Γρηγορᾶ ἐκ Δωδώνης.

Ὠδὴ, ά. Ἦχ. δ'. ὁ Εἱρμὸς, Ἀνοίξω τὸ στόμα μου.

Τῷ φέγγει τῆς χάριτος, Στυλιανὲ λαμπρυνόμενος, τοὺς πίστει τὴν μνήμην σου, πανηγυρίζοντας, καταλάμπρυνον, καὶ σκότους ἁμαρτίας, πρεσβείαις σου λύτρωσαι, θεομακάριστε.

Ὁδὸν τὴν εἰσάγουσαν, Στυλιανὲ πάτερ ὥδευσας, πρὸς πόλιν τὴν ἄφθαρτον ὁσίων καύχημα, τὸ γὰρ ἅγιον, ὡδήγησέ σε Πνεῦμα, ἐπαναπαυσάμενον ἐν τῇ καρδίᾳ σου.

Ὕψωσαν ταπείνωσιν, Στυλιανὲ πάτερ ἔσχηκας, διό σου δεόμεθα οἴκτειρον ὅσιε, τὴν ταπείνωσιν, ἡμῶν καὶ τὰς ὀδύνας, πάσας ἐπικούφισον, τῶν καρδιῶν ἡμῶν.

Θεοτοκίον

Πεσόντων ἀνάκλησις, καὶ ἱσταμένων βεβαίωσις, ὑπάρχεις πανάμωμε, ὅθεν σου δέομαι, συμπτωθέντα με τὸν νοῦν τῇ ἁμαρτίᾳ, ἀνόρθωσον Δέσποινα, ὅπως δοξάζω σε.

Τοῦ δὲ ἁγίου Ἀλυπίου τὸν κανόνα, ζήτει Νοεμβρίου, κς'. Καταβασία, Χριστὸς γεννᾶται. Ὠδὴ, γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ῥεόντων τὰ μένοντα ἠλλάξω, ἐμφρόνως τὸν σὸν Στυλιανὲ, Σταυρὸν ἀναλαβόμενος, καὶ ἐν ἀβάτοις ὄρεσιν, ὡς Ἠλιοῦ ὁ μέγιστος, ὑποχωρῶν διετέλεσας.

Ὁ φθόνει ῥωννύμενος Δεσπότου, νηπίων τοξεύματα σοφὲ, τὰ κατὰ σοῦ ἀπέδειξας, τοῦ πονηροῦ τεχνάσματα, οὗ καὶ ἡμᾶς ἐνίσχυσον, ὑπερτερεῖν ταῖς πρεσβείαις σου.

Δονούμενοι πάθεσι ποικίλοις, τῇ σκέπῃ προσφεύγομεν τῇ σῇ, Στυλιανὲ μακάριε, ἁγίαις μεσιτείαις σου, πάντας ἡμᾶς ἐπίσκεψαι, ἐκδυσωπῶν τὸν φιλάνθρωπον.



Θεοτο-

Θεοτοκίον.

Ῥανίσιν ἐλέους σου Παρθένε, τοὺς ἄνθρακας σβέσον τῶν ἐμῶν, ἁμαρτημάτων Πάναγνε, καὶ ἐσβεσμένον ἄναψον, τὸν λύχνον τῆς καρδίας μου, χρυσῆ λυχνία πανάμωμε. Τῷ πρὸ τῶν αἰώνων. Καθίσματα, Ἦχ. ά.

Τὸν τάφον σου Σωτήρ.

Τοῦ κόσμου τὰ τερπνὰ, ἐκ καρδίας μισήσας, ϗ μόνον ἐκ ψυχῆς, τὸν Χριστὸν ἀγαπήσας, τὴν ἔρημον ᾤκησας, θεοφόρε πατὴρ ἡμῶν· ἐπιμόνοις δὲ, ταῖς θεωρίαις σχολάσας, ὤφθης Ἄγγελος, Στυλιανὲ ζῶν ἐν κόσμῳ, διό σε γεραίρομεν.

Θεοτοκίον.

Μαρία τὸ σεπτὸν, τοῦ Δεσπότου δοχεῖον, ἀνάστησον ἡμᾶς, πεπτωκότας εἰς χάος, δεινῆς ἀπογνώσεως, ϗ πταισμάτων ϗ θλίψεων, σὺ γὰρ πέφυκας, ἁμαρτωλῶν σωτηρία, ϗ βοήθεια, ϗ κραταιὰ προστασία, ϗ σώζεις τοὺς δούλους σου.

Ὠδὴ, δ'. Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.

Ὄρη ὑψηλότατα σὺ κατοικῶν, κορυφὰς δαιμόνων ὑψούμενος, ἐν ταπεινώσει, ἐταπείνωσας σοφὲ, ϗ κατ' αὐτῶν ἠρίστευσας, κλέος μοναστῶν ϗ ἑδραίωμα.

Μάχαιραν ὡς δίστομον τὸν τοῦ Χριστοῦ, φόβον ὁπλισάμενος δράκοντα, τὸν ἀποστάτην, καταβάλλεις πανστρατὶ, Στυλιανὲ μακάριε, νίκαις ἱεραῖς κλεϊζόμενος.

Ὅλος θείῳ Πνεύματι ὅλως φλεχθεὶς, πάτερ ἀνδρικῶς ἐκαρτέρησας, ἔτεσι πλείστοις, ταῖς ἐρήμοις προσχωρῶν, ϗ ἐκζητῶν τὸν Κύριον, χάριτί σε θείᾳ ἰσχύοντα.

Ὑπὸ ψυχικῶν ἡμᾶς πάτερ δεινῶν, μάλα δονουμένους ϗ πίστει σε, προσκαλουμένους, νῦν ἐπίσκεψαι ταῖς σαῖς, Στυλιανὲ δεήσεσι, πρὸς Θεὸν τοὺς πόθῳ τιμῶντάς σε.

Στόμασι ϗ χείλεσι τοῖς ῥυπαροῖς, ἄχραντε τολμῶντες οἱ δοῦλοι σου, σὲ εὐφημοῦμεν· ἐξελοῦ ἡμᾶς πυρὸς, διηνεκῶς φλογίζοντος, θείαις μεσιτείαις σου Δέσποινα.

Ῥάβδος ἐκ τῆς ῥίζης, Ὠδὴ, ε. Ἐξέστη τὰ σύμπαντα.

Ἐβάδισας ὅσιε, στενὴν ὁδὸν, ϗ δύσβατον, θείαις ἀναβάσεσι καρδίας, ϗ θεωρίαις



ἐμπλατυνόμενος, ϗ θέσει θεούμενος σαφῶς, πόλιν τὴν οὐράνιον, νῦν οἰκεῖς ἀγαλλόμενος.

Τῷ κρείττονι ὅσιε, τὸ χεῖρον καθυπέταξας, ταῖς πρακτικωτάταις ἐργασίαις, εἰς θεωρίας φθάσας ἀκρότητα, ὅθεν ἐν μεθέξει θεωθεὶς, θαύματα, ἐξαίσια, αὐτουργῶν ἀναπέφηνας.

Ὀδύνης με λύτρωσαι, κινδύνων τε ϗ θλίψεων, παῦσον τῆς καρδίας μου τὸν πόνον, ϗ τῶν πταισμάτων τὴν λύσιν βράβευσον, πάτερ τὸν Θεὸν Στυλιανὲ, ἔχων ἐπακούοντα, τῶν σεπτῶν σου δεήσεων.

Θεοτοκίον.

Νοός μου θεράπευσον, κινήσεις παναμώμητε, ἴασαι τὰ πάθη τῆς ψυχῆς μου, τῆς ῥαθυμίας τὸ σκότος δίωξον, ὅπως ἐν αἰνέσει σε ὑμνῶ, τὴν ἀειμακάριστον, Θεοτόκε πανύμνητε.

Θεὸς ὢν εἰρήνης. Ὠδὴ, ς'. Τὴν θείαν ταύτην ϗ πάντιμον.

Μαράνας πάθη τοῦ σώματος, ὡς δένδρον καθωράθης ὑψίκομον, καρποὺς τὰ θαύματα, ϗ τὰ σεπτὰ κατορθώματα, Στυλιανὲ ἁγίως φέρων μακάριε.

Ἰσάγγελόν σου μακάριε, τὸν βίον αἱ οὐράνιαι βλέπουσαι, τὸν μετὰ σώματος, τάξεις ἐξέστησαν ᾄδουσαι, τῷ ἐνισχύσαντί σε δόξα Θεῷ ἡμῶν.

Μετὰ θηρίων τὴν ἔρημον, κατῴκεις αὐλιζόμενος ὅσιε, φλογμὸν Ἡλίου τε, καὶ νυκτὸς ψῦχος ὑπήνεγκας, ὅθεν τρυφᾷς τῆς ἄνω μακαριότητος.

Θεοτοκίον.

Ἡ μόνη πάντων βοήθεια, βοήθησον ἡμῖν κινδυνεύουσι, ϗ χεῖρα ὄρεξον, καὶ πρὸς λιμένας ἐμβίβασον, τῆς σωτηρίας κόρη Θεοχαρίτωτε.

Σπλάγχνων Ἰωνᾶν. Κοντάκιον, Ἦχ. δ'. Ἐπεφάνης σήμερον

Ὡς ἀστέρα μέγιστον ἡ Ἐκκλησία, κεκτημένη σήμερον, Στυλιανὸν τὸν θαυμαστὸν, φωταγωγεῖται κραυγάζουσα, χαίροις πατέρων σεπτὸν ἀγαλλίαμα.

Ὁ οἶκος.

Τὸν ἐκ νηδύος μητρικῆς ἁγιασθέντα, ϗ σκεῦος τίμιον τοῦ Πνεύματος χρηματίσαντα, τὸν τοῖς πένησι τὸν πλοῦτον σκορπίσαντα, ϗ τὴν ἔρημον οἰκήσαντα, τὸν πάντας ἀσκητικῇ διαγωγῇ ὑπερβαλόντα, τῶν Παφλαγόνων τὸ μέγα κλέος, Στυλι-

λιανὸν τὸν ἰσάγγελον, τίς κατ᾽ ἀξίαν ἐξισχύσει ἐπαινέσαι; ἀλλ᾽ ὁ χάριν θεόθεν δεξάμενος τῶν θαυμάτων ἐκτελεῖν τὰ παράδοξα πάτερ, ὁ ταῖς κυούσαις ταῖς διὰ τῆς τῶν νεογνῶν θνήξεως ἀτεκνούσαις τὴν τεκνογονίαν αὖθις χαρισάμενος, καὶ ποικίλων ἀνιάτων παθῶν ἰατὴρ ἀναφανεὶς, φάνηθι καὶ ἡμῖν ταχύτατος ἰατρὸς, καὶ προστάτης θερμότατος κατά τε ψυχὴν καὶ σῶμα νοσερῶς διακειμένοις, καὶ μετὰ πίστεως ἐπικαλουμένοις σε, ἵνα κράζωμεν, χαίροις πατέρων σεπτὸν ἀγαλλίαμα.

Τῷ αὐτῷ Μηνὶ, κϛʹ τοῦ ὁσίου πατρὸς ἡμῶν
Στυλιανοῦ τοῦ Παφλαγόνος. στίχοι.

„Ἀσκήσεως πέπτωκεν ὁ στεῤῥὸς στύλος,
„Στυλιανὸς γὰρ τὸν βίον καταστρέφει.
„Εἰκάδι ἕκτῃ τε Στυλιανὸς ἐς οὐρανὸν ἔπτη.

Οὗτος ἐκ μήτρας ἁγιασθεὶς, γέγονε τοῦ ἁγίου Πνεύματος οἰκητήριον, τὸν γὰρ προσόντα αὐτῷ πλοῦτον σκορπίσας τοῖς πένησι, καὶ τὸν μοναστὴν ὑποδὺς βίον, πάντας ὑπερέβαλεν ἀσκήσει ἐπιπόνῳ καὶ σκληραγωγίᾳ, εἶθ᾽ οὕτω τὴν ἔρημον κατέλαβε, καὶ σπήλαιον ὑποδὺς, ὑπὸ θείου Ἀγγέλου τροφὴν ἐδέξατο, καὶ ποικίλων παθῶν ἀνιάτων ἰατὴρ γενόμενος, ὁπηνίκα ὁ φθοροποιὸς θάνατος διὰ τῆς τῶν νεογνῶν θνήξεως ἀτεκνούσας τὰς κυούσας ἀπετέλει, τὸ τοῦ ἁγίου ὄνομα αἱ μητέρες ἐπικαλούμεναι, καὶ τὸ τίμιον αὐτοῦ χρωματουργοῦσαι εἰκόνισμα, πρὸς τεκνογονίαν αὖθις μετεσκευάζοντο. θανὼν δὲ, ἐν τῇ τῶν Παφλαγόνων χώρᾳ κατετέθη, ἰάσεις πολλὰς καὶ θαυματουργίας ἀποτελῶν· οὗ ταῖς πρεσβείαις Χριστὲ ὁ Θεὸς ἡμῶν ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζʹ. Οὐκ ἐλάτρευσαν τῇ κτίσει.

Τὰ οὐράνια τῇ γῇ νῦν συσκιρτάτωσαν, συνευφραινέσθωσαν, Ἀγγέλων φύσις βροτοῖς, βροτὸς γὰρ οὐράνιος Ἄγγελος γήϊνος, ἑορτάζεται, Στυλιανὸς ὁ ἔνθεος, εἰς τιμὴν Θεοῦ τῶν ὅλων.

Ἡγιάσθης ἐκ νηδύος προειδότος σε, τὸ εὐγενὲς τῆς ψυχῆς, τοῦ παντεφόρου Θεοῦ, διὸ ἐχρημάτισας τοῦ θείου Πνεύματος, οἰκητήριον, Στυλιανὲ μακάριε, εὐδρομούντων ὁ ἀλείπτης.



Νοσημάτων χειμαζόντων με μακάριε, ψυχῆς καὶ σώματος, ταῖς ἱκεσίαις ταῖς σαῖς, συντόμως ἀπάλλαξον, καὶ μέλπειν ποίησον, ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ. Θεοτοκίον.

Ἀναλλοίωτον τεκοῦσα μόνη Κύριον, Θεοχαρίτωτε, τῇ δεξιᾷ τῇ αὐτοῦ, ἁγνὴ ἀλλοιῶσαί με τὸν νοῦν ἱκέτευε, πρὸς τὰ κρείττονα, δεινῶς περιτρεπόμενον, ταῖς τοῦ βίου ἀσχολίαις.

Οἱ Παῖδες εὐσεβείᾳ. Ὠδὴ ηʹ. Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.

Ἵνα σε Θεὸς ὑπερδοξάσῃ, Ἀγγέλου διὰ χειρὸς τροφὴν οὐράνιον, πέμπει πανσεβάσμιε, σπήλαιον οἰκοῦντί σοι, Στυλιανὲ καὶ Πνεύματος τοῦ θείου ὅσιε, τὸν νοῦν ἐλλαμπομένῳ τῇ αἴγλῃ, οὗ τῇ ἐνεργείᾳ τὰ θαύματα ἐτέλεις.

Νοῦν τῇ ἀπαθείᾳ καθαρθέντι, Θεῷ σοι προσομιλῆσαι ἐξεγένετο, ὕλην γὰρ ὡς ἕτερος, τούτῳ προσεπέλασας, καὶ συνεκράθης ὅσιε, ὅθεν καὶ ἔψαλες, τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Ἐπῆλθόν μοι μάστιγες βαρεῖαι, καὶ νόσοι Στυλιανὲ καταχειμάζουσι, τούτων με ἀπάλλαξον, πόθῳ ἱκετεύω σε, ὡς ἐκ Θεοῦ δεξάμενος χάριν τὴν ἄφθονον, τὰς νόσους ἰατρεύειν καὶ πάθη, καὶ τὰς ἀλγηδόνας πιστῶν ἐπικουφίζειν.

Σὺν πάσαις ταῖς ἄνω στρατηγίαις, Πατέρα Υἱὸν καὶ Πνεῦμα ἅγιον, τρίφωτον ἀμέριστον, ἄκτιστον θεότητα, ὑμνολογοῦντες ἅγιος, ἅγιος, ἅγιος, βοήσωμεν ἀπλέτῳ τῷ πόθῳ, μία ἐξουσία, ἀρχὴ καὶ βασιλεία. Θεοτοκίον.

Ὤφθης Ἀγγέλων ὑπερτέρα, Θεὸν ἀποῤῥήτως σωματώσασα, τοῦτον οὖν ἱκέτευε, Δέσποινα πανάμωμε, τῶν σαρκικῶν ἀνώτερον παθῶν γενέσθαι με, νοὸς ἐν ὑψηλῇ ταπεινώσει, ἀνυμνολογοῦντα, τὴν σὴν μεγίστην χάριν.

Θαύματος ὑπερφυοῦς. Ὠδὴ θʹ. Ἅπας γηγενής.

Ἴσχυσας Θεοῦ, τὸν νοῦν σου κρατύνοντος, κατακρατῆσαι παθῶν, Ἄγγελος ἐν σώματι, ἐντεῦθεν πάτερ σὺ ἐχρημάτισας, καὶ σὺν Ἀγγέλοις πάντοτε τοὺς οὐρανοὺς κατοικεῖς, τῷ τῆς δόξης θρόνῳ παριστάμενος, καὶ φωτὸς ἀνεσπέρου πληρούμενος.

Ἤδη τῷ Χριστῷ, ἐγγίζων τρανώτερον καὶ καθαρώτερον, μέμνησο τῶν πίστει σου, μνημονευόντων σοφὲ ἑκάστοτε, Στυλιανὲ συγχώρησιν ἡμῖν αἰτούμενος, νοσημάτων,

ΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ … ΤΟΡΗΣ ΠΑΠΑ

των, πάντων ἀπολύτρωσιν, ϗ Θεȣ̃ βασιλείας οἰκείωσιν.

Σȣ̃ τὸ ἱερὸν, ϗ ἅγιον λείψανον ἐν τάφῳ κείμενον, θάπτει τὰ νοσήματα, ϗ φλέγει σίφη δαιμόνων πάντοτε, Στυλιανὲ μακάριε τῇ θείᾳ χάριτι, ἀναβλύζει πᾶσι τὰ ἰάματα, τοῖς πιστῶς σε ἀεὶ μακαρίζȣσιν.

Ὄντως ἀληθεῖς, οἱ λόγοι σȣ Δέσποτα, ȣ̃ς ἀπεφήνω εἰπὼν, πᾶς πιστεύων εἰς ἐμὲ, ϗ μείζονά μȣ ἔργα ἐργάσεται, ἰδȣ̀ ϗ ζῶν τὰ πάθη ὁ Στυλιανὸς ἡμῶν ἐξιᾶται, ϗ θανὼν ȣ̓ παύεται, τὰ ποικίλα ἐργάζεσθαι θαύματα.

Τριαδικόν.

Ὕψιστε Θεὲ, Υἱὲ ϗ Παράκλητε Τριὰς ὁμότιμε, Φῶς τὸ ἀδιαίρετον, ἀνάκτων κράτος ϗ καταφύγιον· τῷ βασιλεῖ συμμάχησον Στυλιανȣ̃ ταῖς εὐχαῖς, τῇ δὲ πόλει, ἄσειστον ἀκλόνητον, εἰρηναίαν παράσχȣ κατάστασιν.

Θεοτοκίον.

Σῶσόν με ἁγνὴ, σωτῆρα κυήσασα, ϗ πανοικτίρμονα, οἴκτειρον τὸν δȣ̃λόν σȣ, πρὸς μετανοίας ὁδȣ̀ς κατεύθυνον, τȣ̃ πονηρȣ̃ τὰ σκάνδαλα ἐκ μέσȣ ποίησον, τῆς αὐτȣ̃ με, λύτρωσαι κακώσεως, Θεοτόκε πιστῶν ἡ βοήθεια.

Μυστήριον. Ἐξαποστειλάριον, ἐν Πνεύματι τῷ ἱερῷ.

Ὑπέρτερον ϗ τȣ̃ νοὸς, ἡ καρτερία σȣ πάτερ, διὸ ϗ μισθȣ̀ς μείζονας, ἐκ Θεȣ̃ ἐκομίσω, Στυλιανὲ θεοφόρε, τῶν ὁσίων σύσκηνε, ϗ νόων τῶν ȣ̓ρανίων, τȣ̀ς τιμῶντάς σε πιστῶς τῆς ἀτιμίας τῶν παθῶν, ῥῦσαι ταῖς σαῖς μεσιτείαις.

Ἕτερον τȣ̃ ἁγίȣ Ἀλυπίȣ, Γυναῖκες ἀκȣτίσθητε.

Ἀγῶνας ὑπὲρ ἄνθρωπον, μετῆλθες πάτερ ὅσιε, τῇ τȣ̃ Χριστȣ̃ δυναστείᾳ, πεντήκοντα πρὸς τρισὶ γὰρ, ἔτεσιν ἐπὶ κίονος, ἑστὼς σοφὲ Ἀλύπιε, πάντοθεν, πιεζόμενος, ϗ νῦν τὸ ἔσχατον μάκαρ, τῶν ἀγαθῶν πάντων εὗρες.

Θεοτο-



Θεοτοκίον.

Καὶ σχετικῶς ἀσπάζομαι, ϗ πόθῳ τὴν προσκύνησιν, προσνέμω πίστει ϗ πόθῳ, τῇ παναχράντῳ ϗ θείᾳ, εἰκόνι σȣ. Πανάμωμε, ἀφ' ἧς ψυχῶν ἐκβλύζȣσι, ϗ τῶν σωμάτων Δέσποινα, ἰάματα τοῖς ὑμνȣ̃σι, σὲ Θεοτόκον κυρίως.

Εἰς τȣ̀ς αἴνȣς, πᾶσα πνοὴ, ἵστωμεν στίχȣς, δ'. δευτερȣ̃ντες τὸ α'. ἦχ. πλ. δ'. Ὢ τȣ̃ παραδόξȣ θαύματος.

Ὅσιε πάτερ Θεσπέσιε, ἀσκητικαῖς ἀγωγαῖς, τὴν ψυχὴν καθηράμενος, καὶ τὸν νȣ̃ν τῇ χάριτι, φωτισθεὶς τȣ̃ παντάνακτος, τȣ̃ κόσμȣ πᾶσαν, τὴν ματαιότητα, σοφῶς παρῆλθες, καὶ ἐτραυμάτισας, τῷ τῆς ἀσκήσεως, βέλει τὸν ἀντίπαλον Στυλιανὲ, ὅθεν σε γεραίρομεν, θείοις ἐν ἄσμασιν.

Ὅσιε πάτερ θεόπνευστε, ὁ ἐκ νηδύος μητρὸς, προγνωσθεὶς Θεῷ ἅγιος, ὁ θηλάσας ἄριστα, ἐγκρατείας τὸ ἥδυσμα, ταῖς πρὸς τὸν πλάστην θείαις πρεσβείαις σȣ, ἁμαρτανόντων, γενȣ̃ ἐπίσκεψις, παύων τὸν κλύδωνα, τῶν παθῶν τῶν δȣ́λων σȣ, Στυλιανὲ, πίστει προσεχόντων σοι, μακαριώτατε.

Νόμον τȣ̃ Πνεύματος ὅσιε, ἀντιτιθεὶς τῆς σαρκὸς, ὡς σοφὸς νόμον ἔσβεσας, ἅπασαν τὴν ἔφεσιν, προσερείσας πανόλβιε, πρὸς τὸν Χριστόν σȣ, ὅνπερ ἐπόθησας, ὥσπερ δὲ μῦρον, τȣ̃ ἁγιάσματος, τῶν σῶν ἀσκήσεων, εἰς ὀσμὴν συντέθεισαι τȣ̃ σȣ̃ Θεȣ̃, ἀρωμάτων ὅθεν σȣ, τὴν μνήμην σέβομεν.

Δόξα. Ἦχος πλ. α'.

Ὅσιε Στυλιανὲ, σὺ τὴν στενὴν ϗ τεθλιμμένην τρίβον, ἐξ ἁπαλῶν ὀνύχων διήνυσας· σπήλαιον γὰρ ἀνήλιον οἰκήσας, ὑπὲρ ἥλιον ἔλαμψας, τȣ̃ ἡλίȣ τῆς δικαιοσύνης, ἐπιποθῶν τὴν βασιλείαν ἰδεῖν ϗ ἀπολαῦσαι, ἧς ἐν μετοχῇ γεγονὼς συναυλίζῃ νῦν τοῖς χοροῖς τῶν ἀσωμάτων· διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, λυτρωθῆναι ἡμᾶς ὁρατῶν ἐχθρῶν ϗ ἀοράτων, πολεμίων τε ἀθέων, ϗ παντοίων νόσων ψυχοφθόρων, τȣ̀ς ἐτησίως τιμῶντας, τὴν πανσέβαστον μνήμην σȣ.

Καὶ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ

Καὶ νῦν Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιςοὶ κατὰ χρέος· τὴν πόλιν τὴν ἄσειςον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προςασίαν, ἢ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Δοξολογία μεγάλη, ἢ Ἀπόλυσις. Εἰς τὴν λειτεργίαν, τυπικὰ
καὶ ἐκ τῦ κανόνος τῦ Ἁγίυ Ὠδὴ γ'. καὶ
ς'. Εὐαγγέλιον, ζήτει τῇ ιζ'. τῦ Ἰαννυαρίυ
τῦ ἁγίυ Ἀντωνίυ, τῆς Λειτυργίας.
Κοινωνικὸν, Εἰς μνημόσυνον.

τέλος ἢ τῷ Θεῷ Δόξα.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ · ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ